τοῦ λαοῦ, ὃ ἂν καταλειφθῇ ἀπὸ τῶν Ἀσσυρίων καὶ ἀπὸ Αἰγύπτου
καὶ Βαβυλωνίας καὶ Αἰθιοπίας καὶ ἀπὸ Αιλαμιτῶν καὶ ἀπὸ ἡλίου
12 ἀνατολῶν καὶ ἐξ Ἀραβίας. [12]καὶ ἀρεῖ σημεῖον εἰς τὰ ἔθνη καὶ συν-
άξει τοὺς ἀπολομένους Ισραηλ καὶ τοὺς διεσπαρμένους τοῦ Ιουδα
13 συνάξει ἐκ τῶν τεσσάρων πτερύγων τῆς γῆς. [13]καὶ ἀφαιρεθήσεται
ὁ ζῆλος Εφραιμ, καὶ οἱ ἐχθροὶ Ιουδα ἀπολοῦνται· Εφραιμ οὐ ζη-
14 λώσει Ιουδαν, καὶ Ιουδας οὐ θλίψει Εφραιμ. [14]καὶ πετασθήσονται
ἐν πλοίοις ἀλλοφύλων θάλασσαν, ἅμα προνομεύσουσιν καὶ τοὺς
ἀφ᾽ ἡλίου ἀνατολῶν καὶ Ιδουμαίαν· καὶ ἐπὶ Μωαβ πρῶτον τὰς
15 χεῖρας ἐπιβαλοῦσιν, οἱ δὲ υἱοὶ Αμμων πρῶτοι ὑπακούσονται. [15]καὶ
ἐρημώσει κύριος τὴν θάλασσαν Αἰγύπτου καὶ ἐπιβαλεῖ τὴν χεῖρα
αὐτοῦ ἐπὶ τὸν ποταμὸν πνεύματι βιαίῳ καὶ πατάξει ἑπτὰ φάραγ-
16 γας ὥστε διαπορεύεσθαι αὐτὸν ἐν ὑποδήμασιν· [16]καὶ ἔσται δίοδος
τῷ καταλειφθέντι μου λαῷ ἐν Αἰγύπτῳ, καὶ ἔσται τῷ Ισραηλ ὡς
ἡ ἡμέρα ὅτε ἐξῆλθεν ἐκ γῆς Αἰγύπτου.

12 [1]Καὶ ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ Εὐλογήσω σε, κύριε, διότι ὠργί-
2 σθης μοι καὶ ἀπέστρεψας τὸν θυμόν σου καὶ ἠλέησάς με. [2]ἰδοὺ
ὁ θεός μου σωτήρ μου κύριος, πεποιθὼς ἔσομαι ἐπ᾽ αὐτῷ καὶ
σωθήσομαι ἐν αὐτῷ καὶ οὐ φοβηθήσομαι, διότι ἡ δόξα μου καὶ ἡ
3 αἴνεσίς μου κύριος καὶ ἐγένετό μοι εἰς σωτηρίαν. [3]καὶ ἀντλήσετε
4 ὕδωρ μετ᾽ εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ σωτηρίου. [4]καὶ ἐρεῖς
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ Ὑμνεῖτε κύριον, βοᾶτε τὸ ὄνομα αὐτοῦ, ἀναγ-
γείλατε ἐν τοῖς ἔθνεσιν τὰ ἔνδοξα αὐτοῦ, μιμνήσκεσθε ὅτι ὑψώθη
5 τὸ ὄνομα αὐτοῦ. [5]ὑμνήσατε τὸ ὄνομα κυρίου, ὅτι ὑψηλὰ ἐποίησεν·
6 ἀναγγείλατε ταῦτα ἐν πάσῃ τῇ γῇ. [6]ἀγαλλιᾶσθε καὶ εὐφραίνεσθε,
οἱ κατοικοῦντες Σιων, ὅτι ὑψώθη ὁ ἅγιος τοῦ Ισραηλ ἐν μέσῳ
αὐτῆς.

13 [1]Ὅρασις, ἣν εἶδεν Ησαιας υἱὸς Αμως κατὰ Βαβυλῶνος.
2 [2]Ἐπ᾽ ὄρους πεδινοῦ ἄρατε σημεῖον, ὑψώσατε τὴν φωνὴν αὐτοῖς,
3 μὴ φοβεῖσθε, παρακαλεῖτε τῇ χειρί Ἀνοίξατε, οἱ ἄρχοντες. [3]ἐγὼ
συντάσσω, καὶ ἐγὼ ἄγω αὐτούς· ἡγιασμένοι εἰσίν, καὶ ἐγὼ ἄγω

11 απο $1^0$ AQ*C*] υπο B*L*; > S*, corrector prior suppleuit υπο, posterior απο | βαβυλωνιας AQ] pr. απο BS, απο βαβυλωνος *LC* | αιθιοπιας BA] pr. απο SQ*LC* | fin.] + και απο των νησων της θαλασσης *L* (in *O*[om. των] sub ※) || 12 του SQ] > BA*LC* || 13 ζηλος] ζυγος A† || 14 προνομευουσιν S*† | τας χειρας / επιβαλ.] tr. S || 16 διοδος] δι > A† | εξηλθον S**L*

12 1 ευλογω BS* | μοι] + εις σωτηριαν S*† || 2 κυριος $1^0$ SQ*L*] > BA*C* | επ αυτω και σωθ. εν αυτω SQ$B^{c}$($B^{c}$† om. και)] επ αυτω και σωθ. υπ αυτου *L*; επ αυτω tantum B*, εν αυτω tantum A†, υπ αυτου tantum *C*† | κυριος ult.] + ια $L^{p}$: idem pr. *O* sub ※ || 3 αντλησετε *L*] -σεται BSAQ, -σατε *C* || 6 αγαλλιασασθαι S*† | σ(ε)ιων] pr. εν SA | αυτης B*LC*] σου SAQ

13 1 ην — αμως / κατα βαβ.] tr. *LC* = 𝔐 || 2 αυτοις] εαυτοις A$S^{c}$, εαυτων Q† | μη φοβ. > BV† | παρακαλισθαι S*† | χειρι] ψυχη A† || 3 και εγω αγω αυτους $1^0$ > *L* | αγω $1^0$ > B*A†: post εγω | αυτους $1^0 \frown 2^0$ B*(†)